A ἀλλὰ μὴν οὐχ ἥ γ' ἀρετὴ φθείρει τὸ ἔχον αὐτήν, οὐδὲ τὸ δίκαιον πόλεως φθαρτικόν. ὥστε δῆλον ὅτι καὶ τὸν νόμον τοῦτον οὐχ οἷόν τ' εἶναι δίκαιον. ἔτι καὶ τὰς πράξεις ὅσας ὁ τύραννος ἔπραξεν, ἀναγκαῖον εἶναι πάσας δικαίας. βιάζεται γὰρ ὢν κρείττων, ὥσπερ καὶ τὸ πλῆθος τοὺς πλουσίους. ἀλλ' ἆρα τοὺς ἐλάττους δίκαιον ἄρχειν καὶ τοὺς πλουσίους; ἂν οὖν κἀκεῖνοι ταῦτα ποιῶσι καὶ διαρπάζωσι, καὶ B τὰ κτήματα ἀφαιρῶνται τοῦ πλήθους, τοῦτ' ἐστὶ δίκαιον; καὶ θάτερον ἄρα. ταῦτα μὲν τοίνυν ὅτι πάντα φαῦλα καὶ οὐ δίκαια, φανερόν. ἀλλὰ τοὺς ἐπιεικεῖς ἄρχειν δεῖ, καὶ κυρίους εἶναι πάντων; οὐκοῦν ἀνάγκη τοὺς ἄλλους ἀτίμους εἶναι πάντας, μὴ τιμωμένους ταῖς πολιτικαῖς ἀρχαῖς. τιμὰς γὰρ λέγομεν εἶναι τὰς ἀρχάς. ἀρχόντων δ' αἰεὶ τῶν αὐτῶν, ἀναγκαῖον εἶναι τοὺς ἄλλους ἀτίμους. ἀλλ' ἕνα τὸν σπουδαιότατον ἄρ- C χειν βέλτιον; ἀλλ' ἔτι τοῦτο ὀλιγαρχικώτερον· οἱ γὰρ ἄτιμοι πλείους. ἀλλ' ἴσως φαίη τις ἄν, τὸ κύριον ὅλως ἄνθρωπον εἶναι, (ἔχοντά γε τὰ συμβαίνοντα πάθη περὶ τὴν ψυχήν,) ἀλλὰ μὴ νόμον, φαῦλον. ἂν οὖν ᾖ νόμος μέν, ὀλιγαρχικὸς δέ, ἢ δημοκρατικός, τί διοίσει περὶ τῶν ἠπορημένων; συμβήσεται γὰρ ὁμοίως τὰ λεχθέντα πρότερον.

D

## Κεφάλαιον ια.

Περὶ μὲν οὖν τῶν ἄλλων, ἔστω τις ἕτερος λόγος. ὅτι δὲ δεῖ κύριον εἶναι μᾶλλον τὸ πλῆθος, ἢ τοῖς ἀρίστοις μέν, ὀλίγοις δέ, δόξειεν ἂν λύεσθαι, καί τιν' ἔχειν ἀπορίαν, τάχα δὲ κἂν ἀλήθειαν. τοῖς γὰρ πολλοῖς, ὧν ἕκαστός ἐστιν οὐ σπουδαῖος ἀνήρ, ὅμως ἐνδέχεται συνελθόντας εἶναι βελτίους ἐκείνων, E οὐχ ὡς ἕκαστον, ἀλλ' ὡς σύμπαντας· οἷον τὰ συμφορητὰ δεῖπνα, τῶν ἐκ μιᾶς δαπάνης χορηγηθέντων. πολλῶν γὰρ ὄντων, ἕκαστον μόριον ἔχειν ἀρετῆς καὶ φρονήσεως, καὶ γίνεσθαι συνελθόντας ὥσπερ ἕνα ἄνθρωπον τὸ πλῆθος, πολύποδα καὶ πολύχειρα, καὶ πολλὰς ἔχοντα αἰσθήσεις· οὕτω καὶ περὶ τὰ ἤθη καὶ τὴν διάνοιαν. διὸ καὶ κρίνουσιν ἄμεινον οἱ F πολλοὶ καὶ τὰ τῆς μουσικῆς ἔργα, καὶ τὰ τῶν ποιητῶν. ἄλλοι γὰρ ἄλλο τι μόριον· πάντα δὲ πάντες. ἀλλὰ τούτῳ διαφέρουσιν οἱ σπουδαῖοι τῶν ἀνδρῶν, ἑκάστου τῶν πολλῶν, ὥσπερ καὶ τῶν μὴ καλῶν τοὺς καλούς φασι, καὶ τὰ γεγραμμένα διὰ τέχνης τῶν ἀληθινῶν, τῷ συνῆχθαι τὰ διεσπαρμένα χωρὶς εἰς ἕν.

atqui virtus nunquam corrumpit id quod eam habet, neque iustum ciuitatis corruptiuum est. ex quo patet legem istam non posse iustam esse. Præterea illa quoque quæ facta fuerint à tyranno, necessarium foret iusta esse omnia. vim enim adfert propter potentiam, vt multitudo diuitibus. Sed an paucos & opulentos iustum est dominari? an ergo si & illi hoc agant, & rapinas exerceant, auferántque multitudinis bona, hócne erit iustum? & cætera ergo. hæc igitur omnia constat esse praua, & non iusta. Verùm bonos & æquos dominari oportet. autoritatémque habere omnium. Ergo alij omnes cùm magistratus non capiant, inhonorati manebunt: nam honores quidem magistratus potestatésque appellamus: quos si boni semper habeant, necessarium est alios excludi ab honoribus reipublicæ. Sed nunquid vnus qui sit optimus, dominari debet? at enim hoc etiam grauius est: quoniam plures erunt ab honoribus exclusi. Sed forsan dicet aliquis, legem dominari debere non autem hominem, in quem cadunt animi perturbationes. Si igitur sit lex quidem, sed vel ad paucorum potentiam, vel ad multitudinis fauorem declinans, quid tandem refert in his, de quibus dubitatum est? euenire enim eadem, quæ supra dicta sunt.

## CAPVT XI.

De his igitur sit alius quidem sermo. Quòd autem magis penes multos debeat esse potestas, quàm penes paucos, licet optimos, videtur solui posse, & quandam habere dubitationem, imò fortè veritatem. Nam si plures sint, quorum vnusquisque non sit studiosus, tamen fieri potest, vt in vnum conuenientes, omnes meliores sint quàm illi, non vt singuli, sed vt omnes: quemadmodum cœna in qua plures conferunt, quàm ea quæ ex vnius erogatione fit. nam cũ plures sint, vnusquisq. partem habet virtutis ac prudentiæ, ac fiũt in vnum collati, quasi homo vnus qui multos pedes habeat, multásque manus, multósq. sensus. & eodem modo circa mores & intelligentiam. quapropter melius iudicant multi & in musica, & in poëtarum operibus: alij enim aliud, & cuncti cuncta discernunt. Sed in hoc differũt studiosi viri ab vnoquoq. aliorum ex multitudine: quemadmodum decoros à nõ decoris aiunt, & picta artificiosè à veris, eò quòd seorsum distincta in vnũ colligũtur.